UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

**Universitätsbibliothek Paderborn**

# Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

**Eusebius <Caesariensis>**

**Mogvntiae, 1672**

IX. Epistola Constantini ad Saporem Persarum Regem, summa cum pietate Deum & Christum confitentis.

**urn:nbn:de:hbz:466:1-14478**

Visual Library

rum quidem rubicundi vultus; aliorum verò nive ipsa candidiores. Nonnullis media quædam coloris inerat temperatura. Quippe Blemmyes & Indi atque Æthiopes, qui ut ait Homerus, bifariam divisi in extimo terrarum degunt, inter illos quos dixi barbaros conspiciebantur. Horum singuli quemadmodum in tabulis vulgò pingi videmus, seorsum quisq; ea ad Imperatorem afferebant, quæ apud ipsos in pretio sunt. Alii coronas aureas; alii diademata gemmis conserta: alii pueros flava cæsarie conspicuos; quidam barbaricas vestes auro & floribus intextas: hi equos, illi clypeos & hastas longas & sagittas & arcus. Atque his donis significabant, obsequium ac societatem armorum offerre se Imperatori si vellet. Ille verò à singulis oblata accipiens ac seponens, tot tantáque eis vicissim donabat, ut momento temporis ditissimos redderet eos qui dona attulissent. Sed & ex eorum numero nobilissimos quosque Romanis dignitatibus ornabat; adeo ut plerique illorum, obliti reditus in patriam, hic apud nos manere maluerint.

A κίλη τις ὄψις, σωμάτων θ' ἡλικίας ὑπερβάλλοντα μεγέθη· καὶ οἷς μὲν ἐρυθραίνετο τὰ πρόσωπα. οἷς δὲ λευκότερα χιόνος ἦν. οἷς δὲ μέσης κράσεως. ἐπεὶ καὶ Βλεμμύων γένη, Ἰνδῶν τε καὶ Αἰθιόπων, οἳ διχθὰ δεδαίαται ἔσχατοι ἀνδρῶν, τῇ τῶν εἰρημένων ἐθεωρεῖτο ἱστορίᾳ. μέρει δὲ τούτων ἕκαστοι, ὥσπερ ἐν πίνακι γραφῇ, τὰ παρ' αὐτοῖς τίμια βασιλεῖ προσεκόμιζον. οἱ μὲν στεφάνους χρυσοῦς. οἱ δ' ἐκ λίθων διαδήματα τιμίων. ἄλλοι ξανθοκόμους παῖδας. οἱ δὲ χρυσῷ καὶ ἄνθεσι καθυφασμένας βαρβαρικὰς στολάς. οἱ δ' ἵππους. οἱ δ' ἀσπίδας καὶ δόρατα B μακρὰ, καὶ βέλη καὶ τόξα. τὴν διὰ τούτων ὑπηρεσίαν τε καὶ συμμαχίαν βουλομένῳ βασιλεῖ παρέχειν ἐνδεικνύμενοι· ἃ δὴ παρὰ τῶν κομιζόντων ὑποδεχόμενος καὶ ἐντάττων, ἀντεδίδου τοσαῦτα βασιλεὺς, ὡς ὑφ' ἕνα καιρὸν πλουσιωτάτους ἀποφῆναι τοὺς κομιζομένους. ἐτίμα δὲ καὶ Ῥωμαϊκοῖς ἀξιώμασι τοὺς ἐν αὐτοῖς διαφανεστέρους. ὥς τ' ἤδη πλείους τὴν ἐνταῦθα στέργειν διατριβὴν, ἐπανόδου τῆς εἰς τὰ οἰκεῖα λήθην πεποιημένους.

## Caput VIII.

*Quòd Persarum Regi qui Legatos ad ipsum miserat, scripsit in gratiam Christianorum illic agentium.*

IAm vero cùm Rex etiam Persarum per Legatos notitiam ambiret Constantini, donáque ad eum misisset, pacis & amicitiæ signa; id agens scilicet ut cum illo fœdus iniret; hic etiam Imperator excellenti quadam animi utens magnitudine, cum qui prior honore ipsum affecerat, munerum magnificentiâ longè superavit. Cúmque apud Persas crebras esse Ecclesias Dei accepisset, & numerosam populorum multitudinem intra Christi ovilia congregari; hoc nuntio magnopere delectatus, utpote communis quidam omnium ubique agentium hominum tutor & curator, ad illa etiam loca providentiam suam pro cunctorum commodis laborantem extendit.

## C ΚΕΦΑΛΑΙΟΝ Η.

Ὅτι καὶ πρεσβευσαμένῳ τῷ Περσῶν βασιλεῖ ὑπὲρ τῶν χριστιανῶν ἔγραψεν.

ΕΠειδὴ δὲ καὶ ὁ Περσῶν βασιλεὺς Κωνσταντίνῳ γνωρίζεσθαι διὰ πρεσβείας ἠξίου, δῶρά τε καὶ οὗτος σπονδῶν φιλικῶν διεπέμπετο σύμβολα, ἔπραττε δὲ τὰς συνθήκας κἀπὶ τούτῳ βασιλεὺς, ὑπερβολῇ φιλοτίμῳ τὸν τῆς τιμῆς προεξαρξάμενον νικῶν ταῖς ἀντιδόσεσι. πυνθανόμενος γέ τοι παρὰ τῷ Περσῶν γένει πληθύειν τὰς τοῦ Θεοῦ ἐκκλησίας, λαούς τε μυριάνδρους ταῖς Χριστοῦ ποίμναις ἐναγελάζεσθαι, χαίρων D ἐπὶ τῇ τούτων ἀκοῇ, οἷά τις κοινὸς τῶν ἁπανταχοῦ κηδεμὼν, πάλιν κἀνταῦθα τὴν ὑπὲρ ἁπάντων εἰσῆγε πρόνοιαν.

## Caput IX.

*Epistola Constantini ad Saporem Persarum Regem, summâ cum pietate Deum & Christum confitentis.*

*Exemplum Epistolæ ad Regem Persarum.*

EGo quidem divinam custodiens fidem, lucis veritatis particeps fio; & veritatis fidem præviam sequens, ad

## ΛΕΦΑΛΑΙΟΝ Θ.

Κωνσταντίνου Αὐγούστου πρὸς Σαπώρην τὸν βασιλέα Περσῶν ὁμολογοῦντα εἰς Θεὸν καὶ Χριστὸν εὐσεβέστατα.

Ἀντίγραφον πρὸς τὸν βασιλέα Περσῶν.

ΤΗν θείαν πίστιν φυλάσσων, τοῦ τῆς ἀληθείας φωτὸς μεταλαγχάνω. τῷ δ' ἀλη-

θείας φωτὸς ὁδηγούμενος, τὴν θείαν πίστιν ἐπιγινώσκω· τοιγαροῦν τούτοις ὡς τὰ πράγματα βεβαιοῖ, τὴν ἁγιωτάτην θρησκείαν γνωρίζω. διδάσκαλον τῆς ἐπιγνώσεως τοῦ ἁγίου Θεοῦ ταύτην τὴν λατρείαν ἔχειν ὁμολογῶ· τούτου τοῦ Θεοῦ τὴν δύναμιν ἔχων σύμμαχον, ἐκ τῶν περάτων τοῦ Ὠκεανοῦ ἀρξάμενος, πᾶσαν ἐφεξῆς τὴν οἰκουμένην βεβαίοις σωτηρίοις ἐλπίσι διήγειρα. ὡς ἅπαντα ὅσα ὑπὸ τοσούτοις τυράννοις δεδουλωμένα, ταῖς καθημεριναῖς συμφοραῖς ἐνδόντα, ἐξίτηλα ἐγεγόνει, (ταῦτα τὴν ἐπὶ τὸ κρεῖττον δι' ἐμοῦ βελτίωσιν δεξάμεναι.) τοῦτον τὸν Θεὸν ἀθανάτῳ μνήμῃ τιμᾶν ὁμολογῶ· τοῦτον ἀκραιφνεῖ καὶ καθαρᾷ διανοίᾳ ἐν τοῖς ἀνωτάτω τυγχάνειν ὑπεραυγάζομαι.

A divinæ fidei notitiam pervenio. Hac ratione sanctissimam, ut res ipsæ confirmant, religionem agnosco; cujus cultum mihi magistrum esse profiteor ad sanctissimi Numinis notitiam hauriendam. Hujus ergo Dei auxilio fultus, ab ultimis usque Oceani progressus finibus, universum orbem terrarum ad firmam spem salutis erexi. Adeò ut provinciæ omnes, quæ tot tyrannorum dominatione oppressæ, & continuis attritæ calamitatibus propemodum defecerant, Reipublicæ vindicem tandem nactæ, velut quibusdam medicinæ fomentis restitutæ sint. Hunc ego Deum prædico: cujus vexillum Deo dicatus exer-
B citus meus, humeris gestat, & quò equitatis ratio postulat fertur; & ob hæc ipsa illico celeberrimas victorias refert pro mercede. Hunc Deum sempiterna memoria coli à me profiteor: hunc in altissima sede positum pura & candida mente contemplor.

## ΚΕΦΑΛΑΙΟΝ Ι'.

*Ὅτι κατὰ εἰδώλων· καὶ περὶ Θεοῦ δοξολογίας.*

ΤΟῦτον ἐπικαλοῦμαι γόνυ κλίνας. φεύγων μὲν πᾶν αἷμα βδελυκτὸν, καὶ ὀσμὰς ἀηδεῖς καὶ ἀποτροπαίους. πᾶσαν δὲ γεώδη λαμπηδόνα ἐκκλίνων· οἷς ἅπασιν ἡ ἀθέμιτος καὶ ἄρρητος πλάνη χραινομένη, πολλοὺς τῶν ἐθνῶν, καὶ ὅλα γένη κατέρριψε, τοῖς κατωτάτω μέρεσι παραδοῦσα. ἃ γὰρ ὁ τῶν ὅλων Θεὸς, προνοίᾳ τῶν ἀνθρώπων, διὰ φιλανθρωπίαν οἰκείαν χρείας ἕνεκα εἰς τοὐμφανὲς παρήγαγε, ταῦτα πρὸς τὴν ἑκάστου ἐπιθυμίαν ἕλκεσθαι οὐδαμῶς ἀνέχεται· καθαρὰν δὲ μόνην διάνοιαν καὶ ψυχὴν ἀκηλίδωτον παρὰ ἀνθρώπων ἀπαιτεῖ, τὰς τῆς ἀρετῆς καὶ εὐσεβείας πράξεις ἐν τούτῳ σταθμώμενος. ἐπιεικείας γὰρ καὶ ἡμερότητος ἔργοις ἀρέσκεται. πράους φιλῶν, μισῶν τοὺς ταραχώδεις. ἀγαπῶν πίστιν, ἀπιστίαν κολάζων. πᾶσαν μετ' ἀλαζονείας δυναστείαν καταρρηγνὺς, ὕβριν ὑπερηφάνων τιμωρεῖται. τοὺς ὑπὸ τύφου ἐπαιρομένους ἐκ βάθρων ἀναιρεῖ, ταπεινόφροσι καὶ ἀνεξικάκοις τὰ πρὸς ἀξίαν νέμων. οὕτω καὶ βασιλείαν δικαίαν περὶ πολλοῦ ποιούμενος, ταῖς παρ' ἑαυτοῦ ἐπικουρείαις κρατύνει, συνέσιν τε βασιλικὴν τῷ γαληνιαίῳ τῆς εἰρήνης διαφυλάττει.

## Caput X.

*Contra simulacra, & de glorificatione Dei.*

HUnc flexis genibus invoco; omnem abominandum cruorem aversans, & odores insuaves ac dete-
C standos; omnem denique terrenum fulgorem procul fugiens: quibus omnibus quasi sordibus pollutus scelestus ac nefandus superstitionis error, multos gentilium, totásque adeò nationes ad ima tartara detrusit. Etenim quæ summus omnium Deus pro sua erga homines benignitate atque providentia ad communem usum protulit in lucem, ea ad cujusque libidinem rapi haudquaquam sustinet. Sed puram duntaxat mentem & animum immaculatum ab hominibus postulat, hisque virtutis & pietatis actus quasi librâ quâdam expendit. Quippe modestiæ & mansuetudinis
D operibus delectatur; mites diligens; turbarum auctores odio habens. Et fidem quidem amat, infidelitatem verò supplicio afficit. Omnem cum arrogantia conjunctam dominationem destruens, superborum contumeliam punit. Et homines quidem insolentia elatos ab ipsis ut ita dicam fundamentis subruit: humiles verò & injuriarum patientes, meritis præmiis afficit. Hinc est quod Imperium justum magni faciens, auxilio suo illud corroborat, & prudentiam regalem tranquillitate pacis perpetuò fovet.